WILHELM KUCHENMÜLLER, STUTTGART



(Ὁ κλασσικὸς φιλόλογος Γουλιέλμος Κοῦχενμύλλερ, ἐπισκέπτεται μετὰ τῆς συζύγου του κατ' ἔτος τὴν Ἑλλάδα ἐξ ἔρωτος πρὸς τὴν ἀσύγκριτον πηγὴν τοῦ πολιτισμοῦ μας καὶ ἐπιστρέφων ἐκθέτει εἰς τοὺς συμπατριώτας του διὰ διαλέξεων καὶ προβολῶν τὰς καλλονὰς τῆς συγχρόνου Ἑλλάδος καὶ περιγράφει τὰ μνημεῖα τῆς χώρας μας καὶ τὸ κάλλος των Δεινὸς Ἑλληνιστὴς ἐκθέτει εἰς ἀρχαίους στίχους στοχασμοὺς ἐπὶ τῆς ἀρχαίας ἱστορίας καὶ μυθολογίας μας. Ἐκ τοῦ πηλίνου εἰδωλίου τῆς Δανάης, τοῦ παρισταμένου εἰς τὴν εἰκόνα, ἐνεπνεύσθη ἑρμηνείαν τοῦ θρύλου τῆς Δανάης διάφορον τῆς τοῦ Σιμωνίδου καὶ Αἰσχύλου).

## ΔΑΝΑΗ

*Οὐκ ἀγενῶν ἥδ' ἐστι κορῶν, οὕτως τῶν ἀρίστων*
*ἱππεύει θυγάτηρ — τί δ' ἔχει κρύπτουσ' ὑπὸ κόλπῳ;*
*δηρὸν σιγήσασ' ἀγανῶς πρόσφησι τὸν ἵππον·*
*«Στῆθι μενῶν, φίλ' ἑταῖρ' ἐπικαίριον ἔνθα μοί ἐστι·*
*δειλαίῳ τῷ παιδαρίῳ μαστοῦ γάλα δοῦναι*
*θάμνοις κρυπτομένῃ». Συνετὸς δ' ἀπαμείβεται ἵππος·*
*Ἡσυχίως, δέσποινα φίλη, γάλα παιδὶ παράσχου,*
*«ἑστήξω γὰρ ἔγωγ' ἀτρεμῶν θρόνος ὡς βασίλειος.»*

*«Ἡ δ' ἐσορῶσα βρέφος μήτηρ βαρέως στεναχίζει·*
*Ὦ λύπη τε καὶ ἦδος ἐμοί, πότμον τίνα πείσει·*
*φεῦ τῆς ἐξαπάτης πικρᾶς χρυσορρύτου ὄμβρου»!*
*εὖ θρέψασα δὲ τέκνον ἐνειλίξασά τ' ἔφιππος*
*φάσκει· «Πήγασε φίλτατ', ἐπεὶ νόον ἔξοχον ἔσχες*
*καὶ θεόθεν φωνὴν — οὐκοῦν ψεῦσται θεοί εἰσιν;»*

*«Οὐ δῆτ', ἀλλὰ θεοπρόπιον τόδ' ἄκουσον ἀληθές·*
*Ζεύς με σφὼ σώζειν κέλεται πρὸς πλησίον ὅρμον,*
*ἔνθ' ἠτοίμασται Νύμφαις Κρονίωνος ἐφετμῇ*
*πλοιάριον, τὸ δὲ σ' αὐτομάτως ἅμα παιδαρίῳ σου*
*σώῃν εἰς εὔξειν' οἴσει βασίλεια Σερίφου.*

*Νῦν γονέων ἀποδιδράσκεις φονίαν ἐπιβουλήν,*
*ἔσται δ' ἦμαρ, ὅτ' Ἄργος ἅπαν Δανάην μακαριεῖ,*
*ᾗ Κρονίδης νύκτωρ ἐμίγη χρυσορρύτῳ ὄμβρῳ·*
*μηδὲ λάθοι σ', οἵων ἔλαχεν τὸ διόσδοτον ἔρνος·*
*Ὃν κρύψασα φέρεις πέπλῳ Περσεὺς περὶ πρώτων*
*ἡρώων ἄθλοις ποτ' ἀριστεύσει πολυαίνοις ...*
*Ἀλλ' ὁρμώμεθ', ἄνασσα φίλη, σωτῆρα πρὸς ἀκτήν.»*

## Πήλιον

*Εὐστόχως παρῄνεσ' ὁδηγὸς Ἑρμῆς,*
*νῶι δ' ἔμπνοον καρδίαν ποθοῦντε*
*Ἑλλάδος μουσεῖα λιπόνθ' ἅπαντ' ἐς*
*Πήλιον ᾖμεν.*

*Οὐ μὲν οὖν ηὕρηκα Χίρωνος ἄντρον*
*— Πηλίου κάρην' ἐκάλυψ' ὁμίχλη —*
*εἷς δὲ Κένταυρος νέφος ὢν ἐφάνθη*
*θηριόμορφον.*

*Ἀλλὰ Χείρωνός γε συνῆν μαθητῇ,*
*αἰπόλος γὰρ τὴν ἀγέλην νέμων τις*
*νῷν τυροῦ λευκοῦ μετέδωκεν ἄρτου θ'*
*οἷον ἑταίροιν.*

*Εὐλογείσθων τῆς ξενίας γεωργοί,*
*ὡς ὁμιλίαν ἱλαρῶς διδόντες*
*τάς τε πατρῴους φιλίας δόσεις πλου-*
*τοῦσιν ἀληθῶς!*

*Μυρίαις θάλλουσιν ἄνω φάραγγες*
*μηλέαις, δρυμῶν δὲ βρύουσιν ὄχθαι,*
*πίδακες γὰρ πανταχόθεν χέονται*
*ζῳοδότειραι.*

*Εἴκοσιν καὶ τέτταρές εἰσι κῶμαι,*
*ὧν ἑκάστη τὴν πλάτανον μεγίστην*
*οἶδ' ἔχουσ', υἱοῖς δὲ πατήρ· «ὁ Χείρων*
*τὴν δ' ἐφύτευσεν.»*

*Εἴθε μοι πρόφρων ὀπάσειε Μοῦσα,*
*οἷ' ἀηδὼν Τσαγγαράδας ἐν ὕλῃ*
*τὸν τ' ἔρωθ' ὕμνησεν ἔαρ τ' ἐραστόν,*
*μυθολογεῦσαι!*

*Πολλὰ Πηλιῶτιδ' ἐπαινέσαντα*
*εἴ μ' ἐρωτᾷς· «τοῦ δὲ χατεῖς μάλιστα;»*
*«πίδακος πιεῖν ἅμα τῇ γυναικὶ*
*πῶμ' ἀκέραιον.»*

## Πρωτεσίλαος καὶ Λαοδάμεια

ΧΟΡΟΣ ΑΝΔΡΩΝ

*Πρωτόμορός τε θανὼν 'Αΐδαό τ' ἄμοιρε*
*Πρωτεσίλαε, φάνηθ' ἐπίκουρος !*

*Πρῶτος γὰρ πέλαγος διέβης τῶν χιλιοναυτῶν*
*'Αργείων πρότερός τ' ἄλλων ἀκταῖς ἐπικέλσας*
*'Ιλιακαῖς θρασέως ἥλου πρύμνης ἄπο ναὸς*
*αἰρόμενος λόγχην εἰδὼς χρησμόν περ ἄφυκτον*
*«Τεθνήξει δ' ὁ θορὼν πρῶτος πρύμνηθεν ἐς ἀκτήν»*
*καί σε μεταξὺ θορόντ' οὐτᾷ κραδίαν μέγας Ἕκτωρ.*

ΧΟΡΟΣ ΑΝΔΡΩΝ

*Τρῳάδος οἴξας πύλας ἁλιδούπους*
*Πρωτασίλαε, χορῶν ἔξαρχος δοριπάλτων,*
*κοίραν' ἀγαυέ, φάνηθ' ἐπίκουρος !*

*Καὶ τότ' ἂν ἐξέχεας Δαναῶν χάριν αἷμα καὶ ἥβην,*
*εἰ μὴ 'Αθηναία σώτειρα πεσόντι παρέστη.*
*χερσὶ γὰρ ἀμβροσίαις λήθει σ' ἐπάρασα χαμᾶθεν*
*κύμαθ' ὕπερ πελάγους τε φέρει πρὸς πατρίδα γαῖαν*
*εἰς Φυλάκην. Δεινῶς ἀπεθαύμασε Λαοδάμεια,*
*ἣν ἄγαμον γαμετὴν ἔλιπες πλεύσας πόλεμόν δε*
*κλητὸς ὑπ' 'Ατρείδαιν μεγάλῳ θ' ὅρκῳ καταληφθείς.*

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ

*Κέκλυθι, Λαοδάμεια / ἀρετὴν ἴση ἀνδρί,*
*ἥρωος ἀγαυοῦ ἄκοιτις ἀγαυή,*
*κέκλυθι, Λαοδάμεια !*

*Μυρίαι εἰς Αὖλιν πέμπουσ' Ἑλληνίδες ἄνδρας*
*ἀλγεινῶς, ἄφατον δὲ καταλγεῖ Λαοδάμεια,*
*ἣ μὲν ἐγήματ' ἀρίστῳ ἀριστεύουσα καὶ αὐτὴ*
*Θεσσαλίας, ἀτελεῖς δὲ γάμους, ἐπεὶ οὔθ' ὑμεναίου*
*οὔτ' ἔτυχεν νυκτὸς γαμικῆς ἄγαμος λειφθεῖσα,*
*δυσπρόσοδος γὰρ ἀπῆλθεν ἀνὴρ κακοδαίμον' ἐς Αὖλιν.*

*Καὶ νῦν θαμβήσασα γυνὴ πρόσφησι τὸν ἄνδρα·*
*«Ἥκεις, Πρωτεσίλα' ὄντως, πόλεμός τε πέπαυται ;*
*ἐκτείσασθ' Ἑλένην καὶ ἐλήσασθ' ἅρπαγα ληστήν ;*
*οἴμοι, τῇσδ' εἶδον νυκτός σε καταστρωθέντα,*
*φίλτατ', ἐπὶ ψάμμον, ψάμμος δ' ἐνέπινε σὸν αἷμα.»*
*«Οἰχόμενόν θ' ἥκοντά θ' ὁρᾷς, ὦ Λαοδάμεια,*
*οἷον γὰρ μοῖρ' ἐστι θεῶν μεῖναί με τόδ' ἦμαρ.*
*μὴ μέλλωμεν ὄκνῳ, καιρὸς σὺν ἐρῶντε γενέσθαι.*

*καὶ τελέσαι γάμον ἡμιτελῆ, πρὶν ἂν Ἕσπερος ἔλθῃ.»*
*ὧδε συναρμοσθένθ' ἱερᾷ φιλότητι συνῆσαν*
*Πρωτεσίλαος ἄναξ ἀνδρῶν καὶ Λαοδάμεια.*

ΧΟΡΩ ΑΜΦΟΤΕΡΩ

*Ὑμὴν ὦ Ὑμέναιε!*
*Χαίρετον ἄμφω ἀξιοτίμω*
*Πρωτεσίλαε Λαοδάμεια!*
*Ὑμὴν ὦ Ὑμέναιε!*

*Εὖτε δὲ νύκτα φέρων σκοτίαν ὑπὲρ Ὄθρυος ἦλθεν*
*Ἕσπερος, ἐξ ὄρφνης πλάθει θάνατος βασιλείοις.*
*καὶ τότε Λαοδάμεια φίλῳ λέγει ἀνδρὶ θέλημα*
*ἄστρεπτον, πέλας ᾔσθετο γὰρ τὴν κῆρα παροῦσαν,*
*«φίλτατ', ἐπεὶ δίχα σοῦ τὸ ζῆν ἐμοί ἐστι παρ' οὐδέν,*
*ἀσμένη αὐθέντης ἅμα σοι θνήσκοντι θανοῦμαι.»*
*Ὃν δ' οὐδὲν λήθει κατὰ γῆν καὶ ἐν οὐρανῷ εὐρεῖ,*
*Ζεὺς Κρονίων αἰδοῦς ὕπ' ἀνώγει Πόμπιμον Ἑρμῆν·*
*«σπεῦδ', Ἑρμῆ, Φυλάκην δε δόμους εἰς Πρωτεσιλάου*
*τὸν θάνατον τ' ἀπάμυν' αὐτῷ καὶ Λαοδαμείᾳ!*
*ἐνθάδε γὰρ ψευσθέντ' ἴσης στερεὰν δι' ἀνάγκην*
*ἡρώων τε τρόπον σφετέρας ψυχὰς ἐπιδόντε*
*μὴ πάγκοινον ὁδὸν κατιόντων εἰς Ἀίδαο,*
*ἀλλ' εἰς Ἠλύσιον πεδίον πόρθμευέ νιν ἄμφω,*
*ὄλβιον ἔνθ' αἰῶν' ἄγοοι διάγουσ' οἱ ἄριστοι.»*

ΧΟΡΩ ΑΜΦΟΤΕΡΩ

*Μάκαρες μακαριστὼ*
*ἰσομοίρω ἰσοτίμω*
*Πρωτεσίλαε Λαοδάμεια*
*Ζηνὶ φίλω καὶ Ἀθηνᾷ*
*δεινὼ ἀρηγώ, ἔλθετον ἡμῖν!*

## ΕΠΙΓΡΑΜΜΑ

*Πινδάρου ἢ Φλάκκου γλώσσας ὀνομάζετε νεκράς;*
*οὐ γέγον' ἐκ κείναιν, ὦ βιοῖ ἡμετέρα;*